Ζεῦ ταῦτα κυρώσειας, ὡς
Θ' ἡμῖν θεοὺς παραστατεῖν
Καίπερ γυναιξὶν οὔσαις.
Κη. Ἄκουε πᾶς. ἔδοξε τῇ βουλῇ τάδε
Τῇ τῶν γυναικῶν. Τιμόκλει' ἐπεστάτει.
Λύσιλλ' ἐγραμμάτευεν. εἶπε Σωστράτη
Ἐκκλησίαν ποιεῖν ἕωθεν τῇ μέσῃ
Τῶν Θεσμοφορείων, ἣν ἄλις ἔσθ' ἡμῖν σχολῆ.
Καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου
Ὅ,τι χρὴ παθεῖν ἐκεῖνον. ἀδικεῖν γὰρ δοκεῖ
Ἡμῖν ἁπάσαις. τίς ἀγορεύειν βούλεται;]

A *Iupiter hæc confirmes, vt*
Nobis dij aſsiſtant,
Quamuis mulieribus exiſtentibus.
PRÆ. *Audi vnuſquiſque, viſa ſunt ſenatui hæc,*
Mulierum inquam ſenatui. Timocles præerat,
Lyſilla ſcribæ officium exercebat. Dixit Soſtrata,
Concionem facere manè media die
Cerealium feſtorum, qua erat ſatis nobis ocium,
B *Et agere primùm de Euripide. (enim videtur*
Quidnam oporteat pati illum, iniuriam facere
Nobis omnibus. quis concionari vult?

BOVRDINVS. Κυρώσειας.] κύρια ποιήσειας, καὶ τοῖς ἔργοις οὕτω δεῖν ἔχειν δηλώσειας. Παραστατεῖν.] παραστᾶναι, βοηθεῖν, ἀρρηγεῖν καὶ ἐπιβοηθεῖν. Ἐπεστάτει.] ἐπῆρχε, προέδρευε ἐπέστη τῆς βουλῆς. καὶ γὰρ παρ' Ἀθηναίοις ἐπιστάτης ἐκαλεῖτο ἐκεῖνος, ὅστις ἐκ τῶν προέδρων μίαν ἡμέραν ἦρχεν, ἐν ᾗ τὰς κλεῖς τῆς ἀκροπόλεως ἐπιστεύετο, καὶ πάντα τὰ χρήματα τῆς πόλεως. τοῦτον δὲ ἐποίουν οἱ Ἀθηναῖοι μίαν μόνην ἡμέραν ἄρχειν, ἵνα μὴ ἐρασθῇ τυραννίδος, ἐὰν πολὺν χρόνον ἀρχῇ ἔχων τοσαῦτα χρήματα καὶ πᾶσαν ἀρχὴν τῆς πόλεως ὑφ' ἑαυτῷ. ἐπειδὴ δὲ ἐπιστάτης ἐκείνῃ τῇ ἡμέρᾳ προέδρευε ἐν βουλῇ ὡς ὑπέρτατος ὢν καὶ ὑπέροχος ἄλλων. Ἐγραμμάτευε.] γραμματεὺς γέγονε. Ἦν σχολῆ.] ἡσυχία καὶ ἀσχολία. Χρηματίζειν.] ἐπιχρηματίζειν ἐπιψηφίζειν, τουτέστιν, περὶ τούτου πρῶτον βουλεύεσθαι, καὶ διαλέγεσθαι ἐρωτᾶντε. ὅθεν ἐπιχρηματισμὸς καὶ ἐπιψηφισμὸς τοιαύτη ἐπιζήτησις ἐλέγετο, καὶ ἐπιχρηματισαί, καὶ ἐπιψηφισαί οἱ τοιαῦτα δοκιμάζοντες καὶ ἐπιζητοῦντες ἐλέγοντο. Εἶπε.] ἀνηγόρευσε δὲ καὶ ἐνείπεν δὴ ἡ Σωστράτη μία τῶν γυναικῶν. Ὅτι χρὴ παθεῖν.] περὶ τοῦ σώματος ἃς δεῖ διδόναι δίκας. Τίς ἀγορεύειν βούλεται.] τουτέστι δημηγορεῖν. αὕτη δὲ ἦν ἐρώτησις ἥπερ ἐχρῆτο ὁ κῆρυξ βουλόμενος παρακαλεῖν ἐπὶ δημηγορίαν τοὺς παραγινομένους.

BISETVS. Ἄκουε πᾶς] κωμικὴ, καὶ χαρίεσσα μίμησις τῶν κηρυγμάτων τῶν ἐν τῇ τῶν Ἀθηναίων βουλῇ ποιεῖσθαι εἰωθότων. Τιμόκλει' ἐπεστάτει] Τιμόκλεια ἐπεστάτει. ἐπιστάτης, βραβευτὴς, ἔφορος. καὶ ἐπίστασις, ἡ ἐπιστασία, ἡ κηδεμονία. καὶ τὸ ῥῆμα, ἐπιστατεῖν, ἐφορεύειν, βραβεύειν. ὁ δὲ ἐπιστάτης ἐστὶν εἷς τῶν Πρυτάνεων ὁ κλήρῳ λαχών. δὶς δὲ οὐκ ἔξεστι γενέσθαι τὸν αὐτὸν ἐπιστάτην. ἔχει δὲ ἐπειδὴ τὰς κλεῖς τῶν ἱερῶν, ἐν οἷς τὰ χρήματα, καὶ τὰ γράμματα. καὶ ὅταν οἱ Πρυτάνεις τὸν δῆμον, ἢ τὴν βουλὴν συνάγωσιν, ἐπειδὴ ἐξ ἑκάστης φυλῆς πρόεδρον ἕνα κληροῖ, μόνην τὴν πρυτανεύουσαν ἀφιείς. Πολυδεύκης. ὁ δὲ κῆρυξ ἐνταῦθα, ὡς εἴρηται, περὶ τῆς τῶν γυναικῶν ἐκκλησίας, καὶ βουλῆς, ὡς περὶ τῆς τῶν ἀνδρῶν, ταῦτα πάντα λέγει, ἅπερ οἱ ἄνδρες ἐν ταῖς ἑαυτῶν βουλαῖς, καὶ ἐκκλησίαις ποιεῖν εἰώθεσαν. εἶχον γὰρ καὶ τοὺς ἄρχοντας, καὶ τοὺς Πρυτάνεις, καὶ τοὺς ἐπιστάτας, καὶ τοὺς γραμματεῖς, καὶ τοὺς συμβούλους, καὶ τὰ λοιπὰ, καθάπερ ἐν τῇ τῶν γυναικῶν ἐκκλησίᾳ νῦν ὁρῶμεν. Ἐγραμμάτευσεν] γραμματεὺς ὁ κατὰ πρυτανείαν κληρωθεὶς ὑπὸ τῆς βουλῆς ἐπὶ τῷ τὰ γράμματα φυλάττειν, καὶ τὰ ψηφίσματα. καὶ ἕτερος ἐπὶ τῷ τοὺς νόμους φυλάττειν ὑπὸ τῆς βουλῆς χειροτονούμενος. ὁ δὲ ὑπὸ τοῦ δημοσίου αἱρεθεὶς γραμματεὺς ἀναγινώσκει τῷ τε δήμῳ, καὶ τῇ βουλῇ. C Πολυδεύκης καὶ κατὰ Σουίδαν γραμματεὺς, πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ, καὶ τῷ δήμῳ τὰ πραττόμενα. καὶ παρὰ τῷ Ἡσυχίῳ γραμματεὺς ὁ ἀναγνώστης, ὅθεν τὸ ῥῆμα γραμματεύειν, γράφειν, ἀναγινώσκειν. Τῇ μέσῃ τῶν Θεσμοφορείων] τουτέστι τῇ τρίτῃ ἡμέρᾳ. καὶ γὰρ εἰς τὴν τῶν Θεσμοφορείων ἑορτὴν πέντε ὁλοκλήρους ἡμέρας ἀναλίσκειν ἦν ἔθος. τῶν δὲ πέντε ἡμερῶν ἡ μέση ἐστὶ τρίτη, καὶ ἡ τρίτη μέση, ὥσπερ ἐν τοῖς ἄνω προείρηται. Ἣν ἄλις ἔσθ' ἡμῖν σχολῆς] ἐὰν ἄλις σχολῆς ἡμῖν εἴη. D ἐὰν ἱκανὴν, καὶ ἀρκοῦσαν σχολὴν πρὸς τὸ τὴν ἐκκλησίαν ποιεῖν κατὰ γνώμην ἔχωμεν. Χρηματίζειν] χρηματίζειν, καὶ χρηματίζεσθαι διαφέρουσι. τὸ μὲν γὰρ χρηματίζεσθαι δηλοῖ τὸ τὰ χρήματα πράττεσθαι, τὸ πλουτεῖν, ἢ χρήματα πορίζειν. ὅθεν χρημάτισις, ὁ τῶν χρημάτων πόρος, ὁ τοῦ τὰ χρήματα πορίζειν λόγος, ἢ ἡ τῶν χρημάτων συναγωγή. καὶ χρηματιστὴς χρημάτων ποριστὴς ὁ ῥᾳδίως χρήματα πορίζων. χρηματίζειν δὲ, τὸ πράγμασι χρῆσθαι οἷον φαμὲν, ἡ βουλὴ χρηματίζει, καὶ ὁ δῆμος, τουτέστι πράγμασι σχολάζει. χρηματίζειν δολικῇ, τὸ ἀποκρίνεσθαι. Ἀππιανὸς ὁ ἱστορικὸς, E τοῖς πρέσβεσιν ἐχρημάτιζε. χρηματίζειν ἐστὶ καὶ λόγους διδόναι ἀλλήλοις, καὶ τὸ πρᾶγμα διοικεῖν. τινὲς δὲ καὶ ἀντὶ τοῦ ὑπάρχειν ἔλαβον. Σ. ὁ αὐτὸς, χρηματίζεσθαι, χρήματα λαβεῖν. καὶ χρηματίσαι μὲν ἐστὶ τὸ πρᾶξαι. χρηματίσασθαι δὲ, κερδᾶναι παρὰ Θουκυδίδῃ. καὶ χρηματισάμενοι, πραγματευσάμενοι. τὸ χρηματίζειν περὶ Εὐριπίδου νῦν σημαίνει τὸ περὶ τοῦ πράγματος, καὶ τῆς δίκης τοῦ Εὐριπίδου συμβουλεύειν, καὶ ψηφίζεσθαι.

F

ΓΥΝΗ ΤΙΣ.

Ἐγώ. Κη. περίθου νῦν τόνδε πρῶτον πρὶν
λέγειν. (ἤδη
Σίγα. σιώπα. πρόσεχε τὸν νοῦν. χρέμπτεται γὰρ
Ὅπερ ποιοῦσ' οἱ ῥήτορες. μακρὰν ἔοικε λέξειν.
Γυν. Φιλοτιμίᾳ μὲν οὐδεμιᾷ μὰ τὼ θεὼ
Λέξουσ' ἀνέστην ὦ γυναῖκες. ἀλλὰ γὰρ
Βαρέως φέρω τάλαινα, πολὺν ἤδη χρόνον
Προπηλακιζομένας ὁρῶσ' ὑμᾶς ὑπὸ
Εὐριπίδου τοῦ τῆς λαχανοπωλητρίας,
Καὶ πολλὰ καὶ παντοῖ' ἀκουούσας κακά.

MVLIER QVÆDAM.

EGo. PRÆ. *Circumpone nunc hoc indumentum primùm priuſquam dicas. (iam,*
MVL. *Tace, ſile, adhibe mentem. exſcreat enim*
Quod quidem faciunt oratores. longam orationē videtur dictura. (Cererē & Proſerpinā,
MVL. *Ambitione quidem nulla non per deas*
G *Grauiter fero miſera, multum iam tempus*
Contumelijs affectas videns vos ab
Euripide, filio olerum venditricis,
Et multa & varia audiens maledicta.

BOVRDINVS. Περίθου νῦν τόνδε πρῶτον.] ἀμφιβάλλου περιβάλλου τόνδε χιτῶνα, πρὶν ἐρεῖν. καὶ γὰρ οὐκ ἐξῆν τοῖς ῥήτορσι ἀγορεύειν εἰ μὴ ἐνδυσαμένοις τὸ ἀξιοπρεπὲς καὶ διεθισμένον ἱμάτιον. Πρόσεχε τὸν νοῦν.] ταῦτα πάντα ἐστὶν ἐπαρτικὰ καὶ παροξυντικὰ πρὸς τὸ προθύμως ἀκούειν ταῦτα τῆς γυναικὸς μελλούσης λέγειν. Χρέμπτεται.] ἀποπτύει γὰρ κατὰ μίμησιν τῶν ῥητόρων, οἵπερ εἰώθασι χρέμπτεσθαι πρὸ τοῦ λόγου, ὥστε ῥᾷον καὶ εὐφωνότε-

ρον